καὶ παραμυθούμενος φιλόσοφος. ‘ἔα με’ φησίν ‘ἄνθρωπε διδόναι δίκην, τὸν ἀσεβῆ τὸν ἐπάρατον τὸν θεοῖς καὶ δαίμοσι μεμισημένον’. ἔστιν ἀνθρώπου μὴ πεπεισμένου θεοὺς εἶναι λυπουμένου δ’ ἄλλως καὶ περιπαθοῦντος ἀπομάξαι δά- D κρυον ἀποκεῖραι κόμην ἀφελέσθαι τὸ ἱμάτιον· τὸν δὲ δεισιδαίμονα πῶς ἂν προσείποις ἢ πῇ βοηθήσεις; ἔξω κάθηται σακκίον ἔχων ἢ περιεζωσμένος ῥάκεσι ῥυπαροῖς, πολλάκις δὲ γυμνὸς ἐν πηλῷ κυλινδούμενος ἐξαγορεύει τινὰς ἁμαρτίας αὑτοῦ καὶ πλημμελείας, ὡς τόδε φαγόντος ἢ πιόντος ἢ βαδίσαντος ὁδὸν ἣν οὐκ εἴα τὸ δαιμόνιον. ἂν δ’ ἄριστα πράττῃ καὶ συνῇ πρᾴῳ δεισιδαιμονίᾳ, περιθειούμενος οἴκοι κάθηται ⟨καὶ⟩ περιματτόμενος, αἱ δὲ γρᾶες ‘καθάπερ παττάλῳ’ φησὶν ὁ Βίων ‘ὅ τι ἂν τύχωσιν αὐτῷ περιάπτουσι φέρουσαι καὶ περιαρτῶσι’.

8. Τὸν Τηρίβαζόν φασιν ὑπὸ τῶν Περσῶν συλλαμβανό- E μενον σπάσασθαί τε τὸν ἀκινάκην, εὔρωστον ὄντα, καὶ διαμάχεσθαι, μαρτυρομένων δὲ καὶ βοώντων ὅτι συλλαμβάνουσιν αὐτὸν βασιλέως κελεύσαντος, αὐτίκα τὸ ξίφος καταβαλεῖν καὶ τὼ χεῖρε συνδῆσαι παρασχεῖν. ἆρ’ οὖν οὐχ ὅμοιόν ἐστι τὸ γιγνόμενον; οἱ μὲν ἄλλοι διαμάχονται συμφοραῖς καὶ διωθοῦνται τὰ πράγματα φυγὰς ἑαυτοῖς μηχανώμενοι καὶ παρατροπὰς τῶν ἀβουλήτων, ὁ δὲ δεισιδαίμων οὐθενὸς ἀκούσας, αὐτὸς πρὸς αὑτὸν εἰπών ‘ταῦτα πάσχεις, ὦ κακόδαιμον, ἐκ προνοίας καὶ θεοῦ κελεύοντος’ ἔρριψε πᾶσαν ἐλπίδα, προήκατο ἑαυτόν, ἔφυγε, διεκρούσατο τοὺς βοηθοῦντας. F

Πολλὰ τῶν μετρίων κακῶν ὀλέθρια ποιοῦσιν αἱ δεισιδαιμονίαι. Μίδας ὁ παλαιός, ὡς ἔοικεν, ἔκ τινων ἐνυπνίων ἀθυ-